Ακαδημία Αθηνών / Academy of Athens

**μηρός.** Μηρός, thigh, Διογένης 6.19-20 *αἱ δὲ εἰς τὰ σκέλη τείνουσαι (sc. φλέβες) σχίζονται κατὰ τὴν πρόσφυσιν, καὶ διὰ παντὸς τοῦ μ η ρ ο ῦ τείνουσιν. ἡ δὲ μεγίστη αὐτῶν ὄπισθεν τείνει τοῦ μ η ρ ο ῦ καὶ ἐκφαίνεται παχεῖα· ἑτέρα δὲ εἴσω τοῦ μ η ρ ο ῦ μικρὸν ἧττον παχεῖα ἐκείνης.*

**μήτηρ.** Μητέρα, mother, Ἐμπεδοκλῆς 137.5 *ὡς δ' αὔτως πατέρ' υἱὸς ἑλὼν καὶ μ η τ έ ρ α παῖδες* Δημόκριτος 24 *μητέρα... Πενίαν.* || **μήτηρ θεῶν.** Τὸ κεντρικὸν πῦρ, the central fire, Φιλόλαος Α 16 (DK I 403,15) πῦρ ἐν μέσῳ περὶ τὸ κέντρον ὅπερ *ἑστίαν* τοῦ παντὸς καλεῖ καὶ *Διὸς οἶκον* καὶ *μ η τ έ ρ α θ ε ῶ ν βωμόν* τε καὶ *συνοχὴν* καὶ *μέτρον φύσεως.*

**μητίεσθαι 1.** Ἐπινοῶ, invent/conceive, Παρμενίδης 13 *πρώτιστον μὲν Ἔρωτα θεῶν μ η τ ί σ α τ ο πάντων* **2.** Σχεδιάζω/μηχανῶμαι, design/devise, Ἐμπεδοκλῆς 139.2 *οἴμοι ὅτι οὐ πρόσθεν με διώλεσε νηλεὲς ἦμαρ, πρὶν σχέτλι' ἔργα βορᾶς περὶ χείλεσι μ η τ ί σ α σ θ α ι.*

**μῆτις 1.** Νοημοσύνη/σοφία, intelligence/wisdom, Ἐμπεδοκλῆς 2.9 *πεύσεαι οὐ πλέον ἠὲ βροτείη μ ῆ τ ι ς ὄρωρεν* 106 *πρὸς παρεὸν γὰρ μ ῆ τ ι ς ἀέξεται ἀνθρώποισιν* **2.** Νοημοσύνη/δεξιοσύνη, adroitness/skillfulness, Ἐμπεδοκλῆς 23.2 *ὡς δ' ὁπόταν γραφέες ἀναθήματα ποικίλλωσιν ἀνέρες ἀμφὶ τέχνης ὑπὸ μ ή τ ι ο ς εὖ δεδαῶτε.* Πρβλ. *φρόνησις, νόησις.*

**μήτρη.** Μήτρα, womb, Δημόκριτος 148 *ὁ γὰρ ὀμφαλὸς πρῶτον ἐν μ ή τ ρ η σ ι ν ... ἀγκυρηβόλιον σάλου καὶ πλάνης ἐμφύεται, πεῖσμα καὶ κλῆμα τῷ γεννωμένῳ καρπῷ καὶ μέλλοντι.*

**μηχανή.** Τρόπος ἀντιμετωπίσεως/ἐπινόημα, technique/contrivance, Δημόκριτος 172.5 *μ η χ α ν ὴ οὖν εὑρέθη, νήχεσθαι διδάσκειν* 266 *οὐδεμία μ η χ α ν ὴ τῷ νῦν καθεστῶτι ῥυθμῷ μὴ οὐκ ἀδικεῖν τοὺς ἄρχοντας, ἢν καὶ πάνυ ἀγαθοὶ ἔωσιν.*

**μιαίνειν.** Μιαίνω, stain/soil, Ἡράκλειτος 5.1 *καθαίρονται δ' ἄλλῳ αἵματι μ ι α ι ν ό μ ε ν ο ι οἷον εἴ τις εἰς πηλὸν ἐμβὰς πηλῷ ἀπονίζοιτο* Ἐμπεδοκλῆς 115.3 *εὖτέ τις ἀμπλακίῃσι φόνῳ φίλα γυῖα μ ι ή ν ῃ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ